μετὰ τὴν τῶν τραπεζῶν ἀφθονίαν, μετὰ τὴν δαψίλειαν τῶν ναμάτων ἐκείνων, μετὰ τὴν ἄφατον δόξαν, ἣν περιεβάλλοντο παρὰ παντὶ τῷ τῶν ἀνθρώπων γένει· ἐπειδὴ ἀγνώμονες ἦσαν καὶ ἀναίσθητοι, μόσχον προσεκύνησαν, καὶ βοὸς κεφαλὴν ἐθεράπευον· καὶ θεοὺς ἐπεζήτουν αὐτοῖς γενέσθαι, νεαρὰ τὰ ὑπομνήματα τῶν ἐν Αἰγύπτῳ εὐεργεσιῶν ἔχοντες τοῦ θεοῦ, καὶ πολλῶν καὶ ἄλλων ἀπολαύοντες ἔτι.

Ὁ δὲ τῶν Νινευιτῶν δῆμος βάρβαρος ὢν καὶ ἀλλόφυλος, οὐδενὸς τούτων μετεσχηκώς, οὐ μικροῦ, οὐ μεγάλου, οὐ λόγων, οὐ θαυμάτων, οὐκ ἔργων, οὐ ῥημάτων, ἐπειδὴ ἄνθρωπον εἶδον ἐκ ναυαγίου διασωθέντα, οὐδέποτε αὐτοῖς συγγενόμενον ἔμπρο-

*admirabilia trophæa. post lautitiam mensarũ, post ubertatem illarũ aquarũ, post ineffabilem gloriam, quam apud hominũ genus vniuersum fuerant consecuti: ingrati & stupidi cùm essent, vitulum adorauerunt, & bouis caput coluerunt; Deosq́; sibi fieri postulârunt, cùm recentia beneficiorum Dei in Aegypto acceptorum monumenta tenerent, ac multis etiam aliis adhuc fruerentur.*

*Niniuitarum verò populus barbarus cùm esset atq; alienigena, nihilq; horum participâsset, non paruũ, non magnum, non orationes, non miracula magna, nõ res non verba; vidissetq́; hominem ex naufragio cõseruatũ, nunquã secum*